☩

# Δέησις ὑπὲρ τῆς εἰρήνης εἰς τὴν Οὐκρανίαν

Τοῦ Κυρίου δεηθῶμεν·

**Δέσποτα** Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τοῦ Ἐλέους καὶ τῆς Ἀγάπης· **ὁ** δι᾿ ὑπερβάλλουσαν ἀγαθότητα γενόμενος ἄνθρωπος, ἵνα εἰρηνεύσῃς καὶ ἑνώσῃς τὰ οὐράνια καὶ ἐπίγεια τῷ ἁγίῳ Πάθει καὶ τῇ ἐνδόξῳ Ἀναστάσει Σου· **Α**ὐτός, Φιλάνθρωπε καὶ Οἰκτίρμον, κλῖνον τὸ οὖς Σου ἐν τῇ ὥρᾳ ταύτῃ καὶ ἐπίβλεψον ἐφ᾿ ἡμᾶς ἱλέῳ ὄμματι.

**Ἐ**πάκουσον, Κύριε, ἡμῶν τῶν ἀναξίων δούλων Σου, δεομένων ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ τῆς καταπαύσεως τοῦ δεινοῦ πολέμου εἰς τὴν χώραν τῆς Οὐκρανίας· **π**αῦσον τὰ φρυάγματα τῶν ἰσχυρῶν· **λ**ύτρωσον τοὺς ἀδελφοὺς ἡμῶν, καὶ τὸν σύμπαντα κόσμον, ἀπὸ πάσης ἀπειλῆς ἐναντίας· **ἐ**ξαπόστειλον τὴν Χάριν Σου ἐν εἴδει περιστερᾶς, καταλλαγῆς σύμβολον ἐχούσης κλάδον ἐλαίας· **τ**οὺς ἐν αἰχμαλωσίᾳ ἐλευθέρωσον· **τ**οὺς ἐν κακοπαθείαις παραμύθησον· **τ**οὺς πρόσφυγας προστάτευσον· **τ**οὺς ἐν ὑπεροχῇ ὄντας καὶ ἄρχοντας τῶν ἐθνῶν δίδαξον τῷ Σῷ φωτισμῷ ἐν εἰρήνῃ ἐπιλύειν τὰς ἀναφυομένας διαφοράς, καὶ ἐν παντὶ ὁμονοεῖν, ἵνα καὶ ἡμεῖς, ἤρεμον καὶ ἡσύχιον βίον διάγοντες ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι, τὴν συμμαχίαν ἔχωμεν τὴν Σήν, ὡς ὅπλον εἰρήνης καὶ ἀήττητον τρόπαιον.

**Μ**ὴ ἀπορρίψῃς ἡμᾶς, Δέσποτα πανάγαθε, ἀπὸ τοῦ Σοῦ προσώπου, καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον καὶ εἰρηνοποιὸν μὴ ἀντανέλῃς ἀφ᾿ ἡμῶν, μηδὲ

ἐγκαταλίπῃς εἰς τέλος τοὺς ἐν Οὐκρανίᾳ ἀδελφοὺς ἡμῶν, ὡς καὶ ἡμᾶς καὶ τὸν κόσμον Σου ἅπαντα, εἰς τὴν ὀργὴν καὶ τὸν ὄλεθρον τοῦ πολέμου· ἔνθες αὐτοῖς τε καὶ ἡμῖν δύναμιν ἐξ ὕψους· περιτείχισον αὐτούς τε καὶ ἡμᾶς τῇ Σῇ παντοδυνάμῳ δεξιᾷ· καὶ εἰρήνην ἀστασίαστον δώρησαι ἡμῖν τοῖς ἁμαρτωλοῖς τέκνοις Σου.

Πρὸ δὲ πάντων καὶ ἐπὶ πᾶσιν, ἐν τῷ Σῷ φόβῳ καὶ τῇ Σῇ ἀγάπῃ στήριξον ἡμᾶς· οἴδαμεν γὰρ καὶ ὁμολογοῦμεν, ἐν καρδίᾳ συντετριμμένῃ καὶ τεταπεινωμένῃ, ὅτι ἀναξίως πολιτευθέντες πρὸς τὴν χριστιανικὴν ἡμῶν κλῆσιν, ἐμακρύνθημεν ἀπὸ Σοῦ, αἱ δὲ ἁμαρτίαι ἡμῶν πληθυνθεῖσαι ὑπὲρ τὴν ψάμμον τῆς θαλάσσης, ἐπέσυραν τὴν Σὴν δικαίαν ὀργὴν ἐφ᾽ ἡμᾶς· ἀλλ᾽ οἴδαμέν Σου, Δέσποτα, καὶ τὴν ἀδαπάνητον ἀγαθότητα.

Διὸ ἐπάκουσον ἡμῶν τῶν ἀχρείων καὶ κατακεκριμένων καὶ αὐτοκατακρίτων, ἀλλὰ τολμώντων εἰσέτι ἐλπίζειν τῇ Σῇ ἀηττήτῳ φιλανθρωπίᾳ, καὶ ἐκπλήρωσον τὰ πρὸς εἰρήνην καὶ σωτηρίαν αἰτήματα ἡμῶν.

Πρεσβείαις τῆς Ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν Ἁγίων Κυρίλλου καὶ Μεθοδίου, τῶν Ἁγίων Ἰσαποστόλων Βλαδιμήρου καὶ Ὄλγας, τῶν Ὁσίων Πατέρων Ἀντωνίου, Θεοδοσίου, καὶ πάντων τῶν Ἁγίων τῆς Λαύρας τοῦ Κιέβου, ὡς καὶ πάντων Σου τῶν Ἁγίων.

Ὅτι Σὺ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

Ἐν Φυλῇ Ἀττικῆς, 8.4.2022, Μ. Πέμπτη

*† ὁ Ὠρωποῦ καὶ Φυλῆς Κυπριανὸς*